οὐ γὰρ ὥσπερ ἐν τοῖς δικαστηρίοις οἱ λαχόντες κρί-
νουσιν, ἀλλὰ τούτου τοῦ πράγματος ἅπασιν Ἀθη-
ναίοις μέτεστι. πρὸς δὲ τούτοις τῷ μὲν ἐλλείπειν
τῷ δ' ὑπερβάλλειν ὁ νόμος μοι δοκεῖ· τῶν μὲν γὰρ
ἰδίων ἀδικημάτων μεγάλην τιμωρίαν ταύτην νομίζω,
τῶν δὲ δημοσίων μικρὰν καὶ οὐδενὸς ἀξίαν ἡγοῦ-
μαι ζημίαν, ἐξὸν κολάζειν χρήμασι καὶ δεσμῷ καὶ
5 θανάτῳ. ἔτι δ' εἴ τις διὰ τοῦτο μεθίσταται ὅτι
⟨πονηρὸς⟩ πολίτης ἐστίν, οὗτος οὐδ' ἀπελθὼν ἐν-
θένδε παύσεται, ἀλλὰ ὅπου ἂν οἰκῇ, ταύτην
τὴν πόλιν διαφθερεῖ, καὶ τῇδε οὐδὲν ἧττον ἐπι-
βουλεύσει, ἀλλὰ καὶ μᾶλλον ⟨καὶ⟩ δικαιότερον ἢ
πρὶν ἐκβληθῆναι. οἶμαι δὲ καὶ τοὺς φίλους ὑμῶν
ἐν ταύτῃ μάλιστα τῇ ἡμέρᾳ λυπεῖσθαι καὶ τοὺς
ἐχθροὺς ἥδεσθαι, συνειδότας ὡς ἂν ἀγνοήσαντες
ἐξελάσητε τὸν βέλτιστον, δέκα ἐτῶν ἡ πόλις οὐδὲν
6 ἀγαθὸν ὑπὸ τούτου τοῦ ἀνδρὸς πείσεται. ῥᾴδιον
δὲ καὶ ἐντεῦθεν γνῶναι τὸν νόμον πονηρὸν ὄντα·
μόνοι γὰρ αὐτῷ τῶν Ἑλλήνων χρώμεθα, καὶ οὐδε-
μία τῶν ἄλλων πόλεων ἐθέλει μιμήσασθαι. καίτοι
ταῦτα διέγνωσται ἄριστα τῶν δογμάτων, ἃ καὶ τοῖς
πολλοῖς καὶ τοῖς ὀλίγοις ἁρμόττοντα μάλιστα τυγ-
χάνει καὶ πλείστους ἐπιθυμητὰς ἔχει.
7 Περὶ μὲν οὖν τούτων οὐκ οἶδ' ὅ τι δεῖ μακρό-

πλέον φέρεσθαι ut Herod. VIII 29. — μοι om. Q. — ζημίαν ἡγοῦμαι Q. 5. ⟨πονηρὸς⟩ πολίτης (s. πονηρὸς) ci. Emp. (κακὸς πολίτης ci. R.). — ἐνθάδε A pr. et Q. — post ἀλλὰ add. καὶ Bl. (τε addiderat post ταύτην ed. 2; sed opponit Schmidt nusquam in hac or. τε . . . καὶ exstare). — διαφθείρῃ A διαφθείρει Q (corr. Ald.). — ⟨καὶ⟩ δικ. ci. R. nisi malis μᾶλλον eicere, ut erat interpolatum Is. 15, 35 F. — ὑμῶν Steph.: ἡμῶν. — συνειδότας] α a m. 2 A. — ὑπὸ τούτου Bk.: ἀπὸ τούτου.